742 λογοισι δε ξυμβαλη θεων ανωμοτος
φιλος κ.τ.λ.
ταχ' αν πιθοιο. ita Auctor Bibliothecae Coislinianae: Coisl. voluit aliquid de hoc versus constituere.

Γύναι, προθυμός εἰμι, πρῶτα μὲν θεῶν,
Ἔπειτα παίδων ὧν ἐπαγγέλλῃ γονάς· ει P.
Εἰς τοῦτο γὰρ δὴ φρενῶδός εἰμι πᾶς ἐγώ.
Οὕτω δ' ἔχει μοι· σὲ μὲν ἐλθόντος χθόνα,
Πειράσομαί σε προξενεῖν δίκαιος ὤν·
Τοσόνδε μὲν τοὶ σοὶ προσημαίνω, γύναι, μέντοι P.
Ἐκ τῆσδε μέν γῆς ὥστ' ἄγειν βεβλήσομαι. ευ P.
Αὐτὴ δ', ἐάπερ εἰς ἐμὰς ἔλθῃς δόμους,
Μενεῖς ἄσυλος, κοὐδέ σε μὴ μεθῶ ποτέ. τινι. P.
Ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πίδα,
Ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.
Μή. Ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
Τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.
Αἰ. Μῶν ἀπέποιθας; ἢ τί σοι τὸ δυσχερές;
Μή. Πέποιθα· Πελίᾳ δ' ἐχθρὸς ἔσι μοι δόμος,
Κρέων τε· τούτοις δ', ὁρκίοισι μὲν ζυγείς,
Ἄγουσιν ἀπὸ μεθῆς ἂν ἐκ γαίης ἐμέ· P. μεθεῖ' ἂν-γαίας
Λόγοις δὲ συμβὰς, καὶ θεῶν ἀνώμοτος,
Φίλος γένοι' ἂν, κἀπικηρυκεύμασιν
τάχ' P. Οὐκ ἂν πίθοιο· τἀμὰ μὲν γὰρ ἀσθενῆ,
Τοῖσδ' ὄλβος ἔσι, καὶ δόμος τυραννικός. τοῖς δ' P.
Αἰ. Πολλὴν ἔλεξας ἐν λόγοις προμηθίαν· ὦ γύναι P.
Ἀλλ' εἰ δοκεῖ σοι δρᾶν τάδ', οὐκ ἀφίσαμαι·

Ἐμοί

Ἐμοί τε γὰρ τάδ' ἐςὶν ἀσφαλέςερα, στατα Ρ.
Σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
α Ρ. Τὸ σόν τ' ἄρηρε μᾶλλον· ἐξηγοῦ θεός.
Μή. Ὄμνυ πέδον γῆς, πατέρα θ' Ἥλιον πατρὸς
Τεμοῦ, θεῶν τε συνήθεις ἅπαν γένος.
Αἰ. Τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν; λέγε.
Μή. Μήτ' αὐτὸς ἐκ γῆς σῆς ἐμ' ἐκβαλεῖν ποτὲ,
Μήτ' ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
Χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.
Αἰ. Ὄμνυμι γαῖαν, λαμπρὸν ἡλίου τε φῶς, 757
Θεούς τε πάντας, ἐμμένειν, ἃ σε κλύω.
Μή Ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ μενῶν πάθοις;
Αἰ. Ἃ τοῖσι δυσσεβέσι γίγνεσθαι βροτῶν.
Μή. Χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
Κἀγὼ πόλιν σὴν ὡς τάχις' ἀφίξομαι,
Πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ἃ βούλομαι.

Ἀνάπαιςοι.

Χο. Ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
Πελάσειε δόμοις·
Ὧν τ' ἐπίνοιαν σπεύδεις κατέχων,
Πράξειας· ἐπεὶ γενναῖος ἀνὴρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.

Ἰαμβοί.

757. ——— ἠλίου θ' ἁγνὸν σέβας P.

775.

783. spurium judicavit Valkenaer ad Phoen. p. 433.

787. hunc versum falsitatis arguit Brunck conjectura confictum esse e versu sequenti 1069. Auctor Bibliothk. Crit. sententia necessarium esse contendit Lenitatem mutatione corrigendum. ἐκπέσοιεν αὐτὰς τοῖς ἐμοῖς κἀβουλίαις Retinuit P.

Ἰαμβοί.

Μή. Ὦ Ζεῦ, δίκη τε Ζηνὸς, ἡλίῳ τε φῶς,
Νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
Γενησόμεσθα, κεἰς ὁδὸν βεβήκαμεν·
Νῦν δ' ἐλπὶς, ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην·
Οὗτος γὰρ ὦ νὴρ, ἢ μάλις' ἐκάμνομεν, ἀνὴρ P.
Λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
Ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
Μολόντες ἄσυ, καὶ πόλισμα Παλλάδος.
Ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
Λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
Πέμψασ' ἐμῶν τιν' οἰκετῶν, Ἰάσονα
Εἰς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι·
Μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους, ſ. πλέξω
Ὡς καὶ δοκεῖ μοι ταῦτα, καὶ καλῶς ἔχειν
[Γάμους τυράννων, οὓς προδοὺς ἡμᾶς ἔχει,] del. P.
Καὶ ξύμφορ' εἶναι, καὶ καλῶς ἐγνωσμένα·
Παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
Οὐχ' ὡς λιποῦσα πολεμίας ἐπὶ χθονὸς
[Ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,] σιοὺς P.
Ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω·
Πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖν,

Λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον
delevit P. [Νύμφῃ φέρουσας, τήνδε μὴ φεύγειν χθόνα,]
Κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
Κακῶς ὀλεῖται, πᾶς δ' ὃς ἂν θιγῇ κόρης,
Τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
junctim dat P. Ἐνταῦθα μέν τοι τόνδ' ἀπαλλάσσω λόγον.
Ὦ μῶσα δ', οἷον ἔργον ἐς ἐργασέον
Τὐνταῦθεν ἡμῖν· τέκνα γὰρ καλακτανῶ
Τἄμ'· ἔστις ἐσὶν, ὅσις ἐξαιρήσεται·
Δόμόν τε πάντα συγχέασ' Ἰάσονος,
Ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
Φεύγουσα, καὶ τλᾶσ' ἔργον ἀνοσιώταλον·
Οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
ἐντε prop. P. Ἴτω· τί μοι ζῆν, κέρδος; ἔστ' ἐμοὶ πατρὶς,
Οὔτ' οἶκός ἐσιν, ἔστ' ἀποστροφὴ κακῶν·
Ἡμάρτανον τόθ', ἡνίκ' ἐξελίμπανον
Δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
ξὺν P. Πεισθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην·
Οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί τοθ'
Ζῶντας τολοιπὸν, οὔτε τῆς νεοζύγου
Νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακῶς κακὴν P.
Θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
Μηδείς με φαύλην κἀσθενῆ νομιζέτω,
Μήδ'

819–20. σοὶ —— πάσχουσαν – haec constructio, quae solaca videtur, revera non est. ordo verborum est συγγνώμη δὲ ἔσθ' ὅστις (σε) λέγειν ταδε μὴ πάσχουσαν κακῶς, ὡς ἐγὼ. vide tamen Brunckium ad Electr: Soph: v. 479–80.

829. Ερεχθ. metrica pronunciandum quasi Ερεχθ.

Μήδ' ἡσυχαίαν, ἀλλὰ θαλέρᾳ τρόπᾳ,
Βαρεῖαν ἐχθροῖς, καὶ φίλοισιν εὐμενῆ·
Τῶν γὰρ τοιούτων εὐκλεέσταλος βίος.
Χο. Ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον, ἐκαινώσω P.
Σέ τ' ὠφελεῖν θέλουσα, καὶ νόμοις βροτῶν
Ξυλλαμβάνουσα, δρᾶν σ' ἀπεννέπω τάδε.
Μή. Οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
Τάδ' ἐστί, μὴ πάσχουσαν, ὡς ἐγὼ, κακῶς.
Ψο. Ἀλλὰ κλανεῖν σὸν σπέρμα τολμήσεις, γύναι; σὼ παῖδε P.
Μή. Οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.
Χο. Σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.
Μή. Ἴτω· περισσοὶ πάντες οἱ 'ν μέσῳ λόγοι·
Ἀλλ' εἶα, χώρει, καὶ κόμιζ' Ἰάσονα·
Εἰς πάντα γὰρ δή σοι τὰ πιστὰ χρώμεθα·
Λέξεις δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
Εἴπερ φρονεῖς εὖ δεσπόταις, γυνή τ' ἔφυς.

Ἀντιστρόφικα.

Στροφὴ ά.

Prosod.
Χο. 1 Ἐρεχθεῖδαι τὸ παλαιὸν ὄλβιοι, Epichor. tr.
2 Καὶ θεῶν παῖδες μακάρων, Iol 830 daim.
3 Ἱερᾶς χώρας ἀπορθήτου ∪∪ – – – ∪ – – –
4 Τ' ἀποφέρβόμενοι Anap. Mon.

5 Κλεινοῖάταν σοφίαν, Dact. Penth.
ἀεὶ P. 6 Αἰεὶ διὰ λαμπροῖάτᾳ Anap. Dim. Ar.
7 Βαίνουσες ἀβρῶς αἰθέρος, Iamb. Dim 835
8 Ἔνθά ποθ' ἁγνὰς Adon.
9 Ἐννέα Πιερίδας Dact. Penth.
P. 10 Λέγουσι Μούσας Iamb. Penth.
11 Ξανθὰν Ἁρμονίαν φυτεῦσαι, Log. Ale.

Ἀντιστροφὴ ά.

τοῦ καλλ. P. 1 Καλλιναὸν τ' ἐπὶ Κηφισοῦ ῥοαῖς 840
κληίζουσιν P. 2 Τὰν Κύπριν κληΐζουσιν ἀφυ- ἄφυσ- P.
3 σαμέναν χώρας καλαπνεῦσαι
4 Μετρίας ἀνέμων
ἡδυπνόους P. 5 Ἡδυπνόους αὔρας·
ἀεὶ P. 6 Αἰεὶ δ' ἐπιβαλλομέναν 845
7 Χαίταισιν εὐώδη ροδέ-
8 ων πλόκον ἀνθέων,
9 Τᾷ σοφίᾳ παρέδρους
10 Πέμπειν ἔρωτας,
11 Παυλοίας ἀρετᾶς ξυνεργούς· 850

Στροφὴ β.

1 Πῶς ἂν ἱερῶν πολιαμῶν
2 Ἡ πόλις, ἢ φίλων
3 Πόμπιμόν

vide infra 1173. .

840. ἀπὸ — ῥοᾶς P. —

852. πολις. Mudg. ποεος

πορπιμον Musg. μπ ποσιμος ita P.

855 τον ουκ ὁσιον κατ' αλλων Musg. minimè pium erga alios vir. Actam et Poliam. Jacobs emendat μετ' ὁσιων cum civibus. vide Animadv. p. 25.

3 Πόμπιμόν σε χώρα
4 Τὰν παιδολέτειραν ἔξει,
5 Τὰν ὐχ ὁσίαν; μέτ' ἄλλων
6 Σκέψαι τεκέων πλαγὰν,
7 Σκέψαι φόνον οἷον αἰρῇ. αἴρει P.
8 Μὴ, πρὸς γονάτων σε πάντες πάντως
9 Πάντως ἱκε[εύομεν,
10 [Μη]τέκνα φονεύσῃς. μὴ omisit P.

Ἀντιστροφὴ β'.

1 Πῶς δὲ θράσος ἢ φρενὸς ἢ
2 Χειρὶ τέκνων σέθεν,
3 Καρδίᾳ τε, λήψῃ, ει P.
4 Δεινὰν προσάγεσα τόλμαν;
5 Πῶς δ' ὄμμα]α προσβαλεῖσα
6 Τέκνοις, ἄδακρυν μοῖραν
7 Σχήσεις; φόνον ἀ δυνήσῃ, ει P. σχήσεις φόνου; P.
8 Παίδων ἱκετᾶν πι]νόντων,
9 Τέγξαι χέρα φοίνιον φοινίαν P.
10 [Ἐν]τλάμονι θυμῷ· ἐν omisit P.

Ἰαμβοί.

Ἰά. Ἥκω κελευσθείς· καὶ γὰρ ἔσα δυσμενὴς,
Οὐκ ἄν γ' ἁμάρ]οις τῆδ' ἔτ', ἀλλ' ἀκούσομαι
οὔτ' ἂν ἁμάρτοις τοῦδέ γ' P. Tile N.

Τί χρῆμα βέλει καινὸν ἐξ ἐμοῦ, γύναι.
Μή. Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
Ξ Ρ. Συγγνώμον εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
Εἰκός γ', ἐπεὶ νῷν πολλ' ὑπείργασαι φίλα·
ἐγὼ δ' Ρ. Ἐγώ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
Καλοιδόρησα σχέλια, τί μαίνομαι,
Καὶ δυσμενοῦν τοῖσι βουλεύμασιν εὖ; ουσιν Ρ.
Ἐχθρὰ δὲ γαίας ποιράνοις καθίσαμαι, 880
Πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
Γήμας τύραννον, καὶ κασιγνήτους τέκνοις
Ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
Θυμοῦ; τί πάσχω, θεῶν περιζόνων καλῶς;
Οὐκ εἰσὶ μέν μοι παῖδες; οἶδα δὲ χθόνα 885
Φεύγοντας ἡμᾶς, καὶ σπανίζοντας φίλων.
Ταῦτ' ἐννοηθεῖσ', ἠσθόμην ἀβελίαν
Πολλὴν ἔχουσα, καὶ μάτην θυμουμένη·
Νῦν οὖν ἐπαινῶ, σωφρονεῖν τ' ἐμοὶ δοκεῖς,
Κῆδος τόδ' ἡμῖν προσλαβών· ἐγὼ δ' ἄφρων,
Ἧι χρῆν μέτειναι τῶνδε τῶν βουλευμάτων, 891
Καὶ ξυμπεραίνειν καὶ παρεσάναι λέχει,
Νύμφην τε κηδεύσασαν ἥδεσθαι σέθεν.
Ἀλλ' ἐσμὲν, οἷον ἐσμὲν, οὐκ ἐρῶ κακὸν,
Γυναῖκες, οὐκεν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς, 895

Οὐδ'

εἶκος σ' Brunck. et P.

v P.

385. χθόνα] scil. Thessaliam, Peliæ arcem,

Οὐδ' ἀντιβείνειν νηπί' ἀντὶ νηπίων.
Παριέμεσθα, καὶ φαμὲν κακῶς φρονεῖν
Τότ'· ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
Ὦ τέκνα, τέκνα, δεῦτε, λείπετε στέγας·
Ἔξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
Πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθητ' ἄμα
Τῆς πρόσθεν ἔχθρας εἰς φίλους μητρὸς μέτα·
Σπονδαὶ γὰρ ἡμῖν, καὶ μεθέσηκεν χόλος.
Λάβεσθε χειρὸς δεξιᾶς· οἴμοι κακῶν·
Ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
Ἆρ', ὦ τέκν', ἦτω καὶ πολὺν ζῶντες χρόνον
Φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγὼ,
Ὡς ἀρτίδακρύς εἰμι, καὶ φόβου πλέα·
Χρόνῳ δὲ νεῖκος παλροὸς ἐξαιρεμένη,
Ὄψιν τερείνην τήνδ' ἔπλησα δακρύων.
Χο. Κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ,
Καὶ μὴ προβαίη μεῖζον, ἢ τὸ νῦν, κακόν.
Ἰά. Αἰνῶ, γύναι, τάδ'· οὐδ' ἐκεῖνα μέμφομαι·
Εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος
Γάμους παρεμπολῶντί γ' ἀλλοίους πόσει·
Ἀλλ' εἰς τὸ λῷον σὸν μεθέσηκεν κέαρ,
Ἔγνως δὲ τὴν νικῶσαν, ἀλλὰ τῷ χρόνῳ,
Βυλήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.

Ὑμῖν

ὑμιῶν P. Ὑμῖν δὲ, παῖδες, ὐκ ἀφρονῖίσως πατὴρ
προμηθίαν P. Πολλὴν ἔθηκε σὺν θεοῖς σωῆριαν· 920
Οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
ξὺν P. Τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι·
Ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται
Πατήρ τε, καὶ θεῶν ὅσις ἐσὶν εὐμενής. ἐ/
Ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος 925
Μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
αὕτη, P. Αὐτὴ, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
i.e. heus tu! Στρέψασα λευκὴν ἔμπαλιν παρηῖδα,
Κὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον; ει P.
Μή. Οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι. 930
τῶνδε θήσομαι P. Ἰά. Θάρσει νῦν· εὖ γὰρ τῶνδ' ἐγὼ θήσω πέρι.
Μή. Δράσω τάδ'· ἔτι σοῖς ἀπιςήσω λόγοις·
Γυνὴ δὲ θῆλυ, κἀπὶ δακρύοις ἔφυ. 933
Ἰά. Τί δῆτα λίαν τοῖσδ' ἐπιςένεις τέκνοις;
Μή. Ἔτικτον αὐτός· ζῆν δ' ὅτ' ἐξήυχα τέκνα,
Εἰσῆλθέ μ' οἶκος, εἰ γενήσεται τάδε.
Ἀλλ' ὧνπερ ἕνεκ' εἰς ἐμὲ ἥκεις λόγου,
μεμνήσομαι P. Τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
ἀποστεῖλαι P. Ἐπεὶ τυράννοις γῆς μ' ἀποςέλλειν δοκεῖ,
Κἀμοὶ τάδ' ἐςὶ λῷςα, γιγνώσκω καλῶς, 940
Μήτ' ἐμποδὼν σοι, μήτε κοιράνοις χθονὸς,
Ναίειν·

933 Homer. Il. θ. 520. θηλύτεραι δ' γυναῖκες

945–948 de hujusce modi repetitionibus apud Euripide
vide quæ notavit Valk: ad Phœn: p. 129 et vide supra
722. 726.

Ναίειν· δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις·
Ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ,
Παῖδες δ' ὅπως ἂν ἐκ ραφῶσι σῇ χερὶ,
Αἰτῆ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα. 945
Ἰά. Οὐκ οἶδ' ἄν εἰ πείσαιμι· πειρᾶσθαι δὲ χρή. ἄρ' Ρ.
Μή. Σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
Γυναῖκα, παῖδας τήνδε μὴ φεύγειν χθόνα.
Ἰά. Μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγὼ,
Εἴπερ γυναικῶν ἐσι τῶν ἄλλων μία. 950
Ξ Ρ. Μή. Συλλήψομαι δὲ τῆδέ σοι κἀγὼ πόνῳ,
Πέμψω γὰρ αὐτῇ δῶρ' ἃ καλλιςεύεται
Τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγὼ, πολύ,
[Λεπτόν τε πέπλον, καὶ ςέφος χρυσήλατον,] 2
Παῖδας φέρονλας· ἀλλ' ὅσον τάχος χρεὼν 955
Κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
Εὐδαιμονήσει δ' ὐχ ἓν, ἀλλὰ μυρία, 948. Ρ.
τ' Ρ. Ἀνδρός γ' ἀρίςου σῆ τυχοῦσ' ὁμευνέτου,
Κεκλημένη τε κόσμον, ὃν ποθ' Ἥλιος
Πατὴρ πατρὸς δίδωσιν ἐκγόνοισιν οἷς. 960
Λάζυσθε φερνὰς τάσδε, παῖδες, εἰς χέρας,
Καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
Φέροντες· ὔτοι δῶρα μεμπτὰ δέξεται.
Ἰά. Τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;

Δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων;
δίδου, P. Δοκεῖς δὲ χρυσὸν; σῶζε, μὴ δίδου τάδε·
Εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
Γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.
Μή. Μή μοι σύ' πείθειν δῶρα καὶ θεὸς λόγος·
Χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
Κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός.
Νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς
Ψυχῆς ἂν ἀλλαξαίμεθ', ὦ χρυσὸν μόνον.
Ἀλλ', ὦ τέκν', εἰσελθόντε πλουσίους δόμους,
Πατρὸς νέαν γυναῖκα, δεσπότιν τ' ἐμὴν,
Ἱκετεύετ', ἐξαιτεῖσθε, μὴ φυγεῖν χθόνα,
Κόσμον διδόντες· τῇδε γὰρ μάλιστα δεῖ,
Εἰς χεῖρ' ἐκείνην δῶρα δέξασθαι τάδε.
Ἴθ' ὡς τάχιστα· μηδὲ δ', ὧν ἐρᾷ τυχεῖν,
Εὐάγγελοι γένοισθε, πράξαντες καλῶς.

Ἀντιστρόφικα.

Στροφὴ ά.

οὐκέτι Χο. 1 Νῦν ἐλπίδες ἐκ ἔτι μοι παίδων ζωᾶς, ζοαις
2 Οὐκέτι· σείχουσι γὰρ εἰς φόνον ἤδη.
3 Δέξεται νύμφα χρυσέων ἀναδέσμων,
4 Δέξεται δύσανος ἅταν,

5 Ξανθᾷ

ἥσει ἐμὲ πρὸ χρημάτων

Duo priores vss. sunt alter alteri antispastici
– – ∪∪ – ∪∪ – – – ∪ – | – ∪ – – – ∪∪ – ∪∪ – – (2) vide
supra vss. 417. 418.

3. idem ac 2.

4. Troch. Dim

5. Dact. Penth.

6.7. Juncti efficiunt Iamb. Tetr. Cat.

5 Ξανθᾷ δ' ἀμφὶ κόμᾳ
6 Θήσει, τὸν αἰδᾶ κόσμον
7 Αὐτὰ ταῖν χεροῖν λαβοῦσα.

Ἀνῖσροφὴ ά.

1 Πείσει χάρις, ἀμβρόσιός τ' αὐγὰ πέπλων,
2 Χρυσεότευκτον στέφανον περιθέσθαι.
3 Νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει.
4 Τοῖον εἰς ἔρκος πεσεῖται,
5 Καὶ μοῖραν θανάτῳ
6 Προσλήψεται δύσανος·
7 Ἄταν δ' ἐχ ὑπεκφεύξεται.

Στροφὴ β'.

1 Σύ δ', ὦ τάλαν, ὦ κακόνυμφε,
2 Κηδεμὼν τυράννων,
3 Παισὶν, ἃ καῖσιδὼς,
4 Ὀλέθριον βιοτὰν προσάγεις,
5 Ἀλόχῳ τε σᾷ συγερὸν θάνατον·
6 Δύσανε, μοίρας ὅσον παροίχῃ!

Ἀντισροφὴ β'.

1 Μεταζένομαι δὲ σὸν ἄλγος,
2 Ὦ τάλαινα παίδων

P. 99ᵘ

3 Μᾶτερ, ἃ φονεύσεις
σὰ P. 4 Τὰ τέκνα, νυμφιδίων ἕνεκεν
5 Λεχέων, ἃ σοι προλιπὼν ἀνόμως 1005
6 Ἄλλῃ ξυνοικεῖ πόσις συνεύνῳ. ξυν P.

Ἰαμβοί.

Παι. Δέσποιν', ἀφεῖνται παῖδες οἵδέ σοι φυγῆς,
Καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
Ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
Μή. Ἔα. 1010
Παι. Τί συγχυθεῖσ' ἔσηκας, ἡνίκ' εὐτυχεῖς;
omisit P. [Τί σὴν ἔτρεψας ἔμπαλιν παρηίδα,
Κὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;] εἰ
Μή. Αἰ, αἰ.
Παι. τάδ' ἠ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις. 1015
Μή. Αἰ, αἰ μάλ' αὖθις. Π. Μῶν τιν' ἀγγέλλων τύχην
Οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου;
Μή. Ἤγγειλας οἳ ἤγγειλας· ἔ σε μέμφομαι.
Παι. Τί δὴ καληφεῖς ὄμμα, καὶ δακρυῤῥοεῖς;
Μή. Πολλή μ' ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ,
Κἀγὼ κακῶς φρονοῦσ' ἐμηχανησάμην. 1021
κάτει τοι P. Παι. Θάρσει, κραλεῖς τοι καὶ σὺ πρὸς τέκνων ἔτι.
Μή. Ἄλλως;

001 redundat ut supra.

vide supra v. 928. 9.

κατα ξη Mscg.

1024. Conser Hispal: v. 847 et ibi notata

Μή Ἄλλυς κατάξω πρόσθεν ἢ τάλαιν' ἐγώ. 1012 P.
Παι Οὗτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων·
Κἔφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
Μή. Δράσω τάδ'· ἀλλὰ βαῖνε δωμάτων ἔσω,
Καὶ παισὶ πόρσυν', οἷα χρὴ καθ' ἡμέραν.
Ὦ τέκνα, τέκνα, σφῷν μέν ἐσι δὴ πόλις,
Καὶ δῶμ', ἐν ᾧ, λιπόντες ἀθλίαν ἐμὲ,
θ P. Οἰκήσετ' αἰεὶ μητρὸς ἐσερημένοι·
Ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγὰς,
Πρὶν σφῷν ὄνασθαι, κἀπιδεῖν εὐδαίμονας,
Πρὶν λέκτρα, καὶ γυναῖκα, καὶ γαμηλίυς
Εὐνὰς ἀγῆλαι, λαμπάδας τ' ἀνασχέθειν.
1025 Ὦ δυστάλαινα, τῆς ἐμῆς αὐθαδίας·
Ἄλλως ἄρ' ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην,
Ἄλλως δ' ἐμόχθυν, καὶ καλεξάνθην πόνοις,
Στερρὰς ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.
Ἦ μὴν πόθ' ἡ δύσηνος εἶχον ἐλπίδας
Πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν τ' ἐμὲ,
Καὶ καθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
Ζηλωτὸν ἀνθρώποισι· νῦν δ' ὄλωλε δὴ
Γλυκεῖα φροντὶς· σφῷν γὰρ ἐσερημένη,
Λυπρὸν διάξω βίοτον, ἀλγεινόν τ' ἐμοί·
Ὑμεῖς δὲ μητέρ' οὐκέτ' ὄμμασι φίλοις 1045 σιν P.
Ὄψεσθ',

Ὄψεσθ', ἐς ἄλλο σχῆμ' ἀποσάντες βίου.
Φεῦ, φεῦ τί προσδέρκεσθέ μ' ὄμμασιν, τέκνα;
Τί προσγελᾶτε τὸν πανύσταλον λέγων; γέλων
Αἴ, αἴ τί δράσω; καρδία γὰρ οἴχεται,
Γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων·
Οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
Τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμάς·
Τί δεῖ με, πατέρα τῶνδε τοῖς τούτων κακοῖς
Λυπεῖσαν, αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
Οὐ δῆτ' ἔγωγε· χαιρέτω βουλεύματα.—
Καί τοι τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν,
Ἐχθρὰς μεθεῖσα τὰς ἐμὰς ἀζημίους;
Τολμητέον τάδ'· ἀλλὰ τῆς ἐμῆς κάκης,
Τὸ καὶ προέσθαι μαλθακὰς λόγους φρενί.
Χωρεῖτε, παῖδες, εἰς δόμους· ὅτῳ δὲ μὴ
Θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
Αὐτῷ μελήσει· χεῖρα δ' οὐ διαφθερῶ.—
Μὴ δῆτα, θυμέ, μὴ σύ γ' ἐργάσῃ τάδε.
Ἆ, ἆ,
Ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
Ἐκεῖ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί σε.
Μὰ τὰς παρ' ᾅδην νερτέρους ἀλάστορας,
Οὔτοι ποτ' ἔσται τοῦθ', ὅπως ἐχθροῖς ἐγὼ

Παῖδας

non corrumpam dextéram meam misericordiâ

1700. Vide Pierronii Verisim. p. 59.

1076. Hunc versiculum delendum esse censet Joan. Pierron. Veris. P. 60.

Παῖδας παρήσω τὰς ἐμὰς καθυβρίσαι·
Πάντως σφ' ἀνάγκη καὶθανεῖν· ἐπεὶ δὲ χρὴ,
Ἡμεῖς κ]ενῦμεν, οἵπερ ἐξεφύσαμεν.
Πάντως πέπρακ]αι ταῦτα, κὐκ ἐκφεύξε]αι.
Καὶ δὴ 'πὶ κρατὶ ςέφανος, ἐν πέπλοισί τε
Νύμφη τύραννος ὄλλυ]αι· σάφ' οἶδ' ἐγώ.
Ἀλλ' εἶμι γὰρ δὴ τλημονεςάτην ὁδὸν,
Καὶ τάσδε πέμψω τλημονεςέραν ἔτι·
Παῖδας προσειπεῖν βέλομαι· δότ', ὦ τέκνα,
Δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χεὶρ, φίλ]ον δέ μοι ςόμα,
Καὶ σχῆμα, καὶ πρόσωπον εὐγενὲς τέκνων,
Εὐδαιμονοῖτον· ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε
Πατὴρ ἀφείλετ'· ὦ γλυκεῖα προσβολὴ,
Ὦ μαλθακὸς χρὼς, πνεῦμά θ' ἥδιςον τέκνων.
Χωρεῖτε, χωρεῖτ'· ὐκέτ' εἰμὶ προσβλέπειν
Οἵα τ' ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς·
Καὶ μανθάνω μὲν, οἷα τολμήσω κακὰ,
Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βελευμάτων,
Ὅσπερ μεγίςων αἴτιος κακῶν βροτοῖς.

Ἀνάπαιςοι.

Χο. Πολλάκις ἤδη διὰ λειπ]οτέρων

Μύθων

1079 Ρ. Μύθων ἔμολον, καὶ πρὸς ἀμίλλας
Ἦλθον μείζως, ἢ χρὴ γενεὰν
Θῆλυν ἐρευνᾶν· ἀλλὰ γάρ ἐσιν Ρ.
Μῦσα καὶ ἡμῖν, ἢ προσομιλεῖ
Σοφίας ἕνεκεν. πάσαισι μὲν οὔ·
χὰρ/ Ρ. Παῦρον δὴ γένος ἐν πολλαῖσ δ Ρ.
Εὕροις ἂν ἴσως
οὐκ Κὐκ ἀπόμυσον τὸ γυναικῶν.
Καὶ φημὶ βροτῶν, οἵτινές εἰσιν Ρ.
Πάμπαν ἄπειροι, μήδ' ἐφύτευσαν
Παῖδας, προφέρειν εἰς εὐτυχίαν
Τῶν γειναμένων.
γ' Ρ. Οἱ μὲν τ' ἄτεκνοι, δι' ἀπειροσύναν
Εἴθ' ἡδὺ βροτοῖς, εἴτ' ἀνιαρὸν
Παῖδες τελέθυσ', ὐχὶ τυχόντες,
Πολλῶν μόχθων ἀπέχονται·
οἷσιν Ρ. Θῖσι δὲ τέκνων ἐσὶν ἐν οἴκοις
Γλυκερὸν βλάσημ', ἐσορῶ μελέτῃ
Καλλιρυχομένους τὸν ἅπαντα χρόνον·
Πρῶτον μὲν ὅπως θρέψωσι καλῶς,
Βιότου θ' ὁπόθεν λείψυσι τέκνοις.
Ἔτι δ' ἐκ τούτων, εἴτ' ἐπὶ φλαύροις,
Εἴτ' ἐπὶ χρησοῖς

Μοχθῦσι

1079 ?

P 1011

1121. supra v. 571.

Μοχθῦσι, τόδ' ἔξιν ἄδηλον.
Ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
Πᾶσιν καλερῶ θνητοῖσι κακόν.
Καὶ δὴ γὰρ ἄλις βίοτον θ' εὕρον,
Σώματά τ' εἰς ἥβην ἦλθε τέκνων; P. σώματα θ' ἥβην εἰσῆλθε τ.
Χρηστοί τ' ἐγένοντ'· εἰ δὲ κυρήσει
Δαίμων ὕτος, φρῦδος ἐς αἴδαν αἴδαν P.
Θάναλος προφέρων σώματα τέκνων.
Πῶς ὗν λύει προς τοῖς ἄλλοις
Τήνδ' ἔτι λύπην ἀνιαροτάτην
Παίδων ἕνεκεν
Θνητοῖσι θεὸς ἐπιβάλλειν;

Ἰαμβεῖ.

Μή. Φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην,
Καραδοκῶ τἀκεῖθεν οἵ προβήσεται.
Καί τοι δέδορκα τόνδε τῶν Ἰάσονος
Στείχοντ' ὀπαδῶν, πνεῦμά τ' ἠρεθισμένον,
δείκνυσιν P. Δείκνυσι δ' ὡς τι καινὸν ἀγγελεῖ κακόν.
deleta distinctione post Ag. ἠρεθισμένον
Ἄγ. Ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη
Μήδεια, φεῦγε, φεῦγε, μήτε ναΐαν
Λιπῦσ' ἀπήνην, μήτ' ὄχον πεδοσιβῆ.
Μή. Τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;

Ἀγ. Ὤλωλεν ἡ τύραννος ἀρτίως κόρη,
Κρέων θ' ὁ φύσας, φαρμάκων τῶν σῶν ὕπο.
Μή. Κάλλιστον εἶπας μῦθον· ἐν δ' εὐεργέταις
Τοὐντεῦθεν ἤδη καὶ φίλοις ἐμοῖς ἔσῃ.
Ἀγ. Τί φῄς; φρονεῖς μὲν ὀρθά, κἀμαίνῃ γύναι;
Ἥτις, τυράννων ἐξίαν ἠκισμένη,
Χαίρεις κλύουσα, κἀφοβῇ τὰ τοιάδε;
Μή. Ἔχω τί κἀγὼ τοῖς γε σοῖς ἐναντίον
Λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,
Λέξον δὲ πῶς ὤλοντο· δὶς τόσον γὰρ ἂν
Τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.
Ἀγ. Ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
Ξὺν πατρὶ, καὶ παρῆλθε νυμφικὰς δόμους,
Ἥσθημεν, οἵπερ σοῖς ἐκάμνομεν κακοῖς,
Δμῶες· δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος,
Σὲ, καὶ πόσιν σὸν, νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
Κύνει δ' ὁ μέν τις χεῖρ', ὁ δὲ ξανθὸν κάρα
Παίδων· ἐγὼ δὲ καὐτὸς, ἡδονῆς ὕπο,
Στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἐσπόμην.
Δέσποινα δ', ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
Πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
Πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
Ἔπειτα μέντοι πρὸκαλύψατ' ὄμματα,

Λευκὴν

P. 2511

P.

P.

P.

P.

ἐλάδ- σπεύδε

1145. δίπτυχος] Sta apud Latinos numerator
ordinalium. Neque aliter Shakespeare
rium noster Lucr. et Ceropi A. I. Sc. I
the triple pillar i.e. one of three
who make the pillars

Λευκὴν τ' ἀπέσρεψ' ἔμπαλιν παρηΐδα, 1145 P.
Παίδων μυσαχθεῖσ' εἰσόδοις· πόσις δὲ σὸς εἰσόδους P.
Ὀργάς τ' ἀφῆρει, καὶ χόλον νεάνιδος,
Λέγων τάδ'· ἤ μὴ δυσμενὴς ἔσῃ φίλοις, 1160 ει P.
ει P. Παύσῃ δὲ θυμῷ, καὶ πάλιν σρέψεις κάρα,
Φίλως νομίζως', ὥσπερ ἂν πόσις σέθεν· σύ
ει. ει P. Δέξῃ δὲ δῶρα, καὶ παραιτήσῃ πατρὸς,
Φυγὰς ἀφεῖναι παισὶ τοῖσδ', ἐμὴν χάριν.
Ἡ δ', ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο, 1165
Ἀλλ' ἦνεσ' ἀνδρὶ πάντα· καὶ πρὶν ἐκ δόμων
Μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
Λαβοῦσα πέπλως ποικίλως ἠμπέσχετο,
Χρυσοῦν τε θεῖσα σέφανον ἀμφὶ βοσρύχοις,
Λαμπρῷ καλόπρῳ σχηματιζέται κόμην, 1170
Ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
Κἄπειτ' ἀνασᾶσ' ἐκ θρόνων διέρχεται
Στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί,
Δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
Τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη. 1175
μετ. Ἐνθένδε μέν τοι δεινὸν ἦν θέαμ' ἰδεῖν·
Χροιὰν γὰρ ἀλλάξασα, λεχρία πάλιν
Χωρεῖ τρέμουσα κῶλα, καὶ μόλις φθάνει,
Θρόνοισιν ἐμπεσοῦσα, μὴ χαμαὶ πεσεῖν.

Καί τις γεραιὰ προσπόλων, δόξασά πυ 1180
Ἢ Πανὸς ἀργὰς, ἤ τινος θεῶν, μολεῖν,
Ἀνωλόλυξε, πρίν γ' ὁρᾷ διὰ ςόμα
Χωρῦλα λευκὸν ἀφρὸν, ὀμμάτων τ' ἄπο
Κόρας ςρέφυσαν, αἷμά τ' ἐκ ἐνὸν χροΐ.
Εἶτ' ἀντίμολπον ἦκεν ὀλολυγῆς μέγαν 1185
Κωκυτόν· εὐθὺς δ' ἡ μὲν εἰς πατρὸς δόμυς
Ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
ξυμ P. Φράσυσα νύμφης συμφοράν· ἅπασα δὲ
Στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
ἔκπλέθρου δρόμου P. Ἤδη δ' ἀνέλκων κῶλον, ἔκπλεθρον δρόμυ 1190
ὧν ἥπτετο Ταχὺς βαδισὴς τερμόνων ἀνθήπλε[ι]ο·
Ἡ δ' ἐξ ἀναύδυ καὶ μύσαν[τ]ος ὄμμα[τ]ας
Δεινὸν ςενάξασ' ἡ τάλαιν' ἠγείρε[τ]ο·
Διπλᾶν γὰρ αὐτῇ πῆμ' ἐπεςρατεύετο·
Χρυσᾶς μὲν ἀμφὶ κρα[τ]ὶ κείμενος πλόκος, 1195
Θαυμαςὸν ἵει νᾶμα πάμφαγυ πυρός·
Πέπλοι δὲ λεπ[τ]οὶ, σῶν τέκνων δωρήμα[τ]α,
Λευκὴν ἔδαπ[τ]ον σάρκα τῆς δυσδαίμονος·
Φεύγει δ' ἀναςᾶσ' ἐκ θρόνων πυρσμένη,
Σείυσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε, 1200
Ῥῖψαι θέλυσα ςέφανον· ἀλλ' ἀρηρότως P. ἀραρότως
Ξ P. Σύνδεσμα χρυσὸς εἶχε· πῦρ δ', ἐπεὶ κόμην
Ἔσεισε,

1192 ἐξ ἀ. κ. μ. ο. post altum silentium. Wakefield
Sylv. Crit. P. IV. p. 110. quem vide

Ἔσεισε, μᾶλλον δῖς τόσονδ' ἐλάμπετο· τόσως τ' P.
Πίπνει δ' ἐπ' ἔδας συμφορᾷ νικωμένη, ἐς P.
Πλὴν τῷ τεκόνθ', κάρτα δυσμαθὴς ἰδεῖν
Οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν καθάσασις,
Οὔτ' εὐφυὲς πρόσωπον· αἷμα δ' ἐξ ἄκρας
Ἔσταζε κρατὸς, συμπεφυρμένον πυρί. ξυμ P.
Σάρκες δ' ἀπ' ὀστέων, ὥστε πεύκινον δάκρυ,
Γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον·
Δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θίγειν
Νεκρῷ· τύχην γὰρ εἴχομεν διδάσκαλον·
Πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσία, ξυμ P.
Ἄφνω προσελθὼν δῶμα, προσπίπνει νεκρῷ·
Ὠιμωξέ δ' εὐθὺς· καὶ περιπτύξας χέρας δέμας. P.
Κύνει, προσαυδῶν τοιάδ'· ὦ δύσπαις πατῖ,
τίς σ' ὧδ' P. Τίς ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσε;
Τίς τὰν γέρονθα τύμβον ὀρφανὸν σέθεν
ξυν P. Τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.
Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
Χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας,
Προσείχεθ', ὥστε κισσὸς ἔρνεσιν δάφνης,
Λεπτοῖσι πέπλοις· δεινὰ δ' ἦν παλαίσματα·
Ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
ζυτ' Ἡ δ' ἀντελάζετ'· εἰ δὲ πρὸς βίαν ἄγοι,

Σάρκας

Σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.
ἀπέσβη P. Χρόνῳ δ' ἀπέσχε, καὶ μεθῆκ' ὁ δύσμορος
Ψυχὴν· κακῶς γὰρ ἐκέτ' ἦν ὑπέρτερος.
Κεῖνται δὲ νεκροὶ, παῖς τε, καὶ γέρων πατὴρ,
Πέλας· ποθεινὴ δακρύοισι συμφορά.
Καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔχω λόγου·
εἰ P. Γνώσῃ γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
Τὰ θνητὰ δ' ἐν νῦν πρῶτον ἡγοῦμαι σκιὰν,
Οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
Δοκοῦντας εἶναι, καὶ μεριμνητὰς λόγων,
ζημίαν P. Τούτοις μεγίστην μοῖραν ὀφλισκάνειν·
Θνητῶν γὰρ οὐδεὶς ἔστιν εὐδαίμων ἀνὴρ· φύσει P.
Ὅλβου δ' ἐπιῤῥυέντος, εὐτυχέστερος
Ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.
Χο. Ἔοικ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
Κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.
ξυμφορας P. Ὦ τλῆμον· ὡς σε συμφορὰν οἰκτίρομεν,
Κόρη Κρέοντος, ἥτις εἰς ᾅδου δόμους πύλας P.
εἰ P. Οἴχῃ, γάμων ἕκατι τῶν Ἰάσονος.
Μή. Φίλαι, δέδοκται τοὔργον, ὡς τάχιστά μοι
Παῖδας κτανούσῃ, τῆσδ' ἀφορμᾶσθαι χθονός,
Καὶ μὴ σχολὴν ἄγουσαν, ἐκδοῦναι τέκνα
Ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί·

Πάντως

1231. Schol. τὸ σὸν ἀντὶ τοῦ σου. Heath ita vertit. De salute autem (tuâ) mea (i.e. verba) interponam minime neceſſe: Tu enim ipſa mali vel poenæ effugium invenies.

1239. pro ἐνδαίμων dal Valken. ad Hippol. 750.
ἄλβιος e pseudo Nazianzeno.

1245. νίκη ἐμὲ ἀφορμή.

1254. βαλβίς καλεῖται τὸ ἐν ἀρχῇ τοῦ δρόμου κείμενον ε
καρσίως ξύλον, ὃ καὶ ἀφετηρίαν καλοῦσιν· ὅπερ, μετὰ τ
ἑτοιμασθῆναι τοὺς δρομεῖς εἰς τὸ βραμεῖν, ἀφαιρούμενο
ἀφίεσαν τρέχειν. Phavorin. Hanc ipsam vocem ik
orum adhibuit Euripides in Herc. Fur. et in eade
ubi loquitur Lyssa de liberorum Herculis cade
quae paterna manu pratranda est. v. 869

καὶ δὴ τινάσσει κρᾶτα βαλβίδων ἄπο,

1260. [illegible] Volt. ad Hipp. v. 506

Πάντως σφ' ἀνάγκη καθανεῖν· ἐπεὶ δὲ χρή,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν. 1250
Ἀλλ' εἶ', ὁπλίζου, καρδία· τί μέλλομεν
Τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
Ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λάβε ξίφος,
Λάβ', ἕρπε πρὸς βαλβίδα λυπηρὰν βίου,
Καὶ μὴ κακισθῇς, μήδ' ἀναμνησθῇς τέκνων,
Ὡς φίλταθ', ὡς ἔτικες· ἀλλὰ τήνδε γε 1256
Λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
Κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ', ὅμως
Φίλοι γ' ἔφυσαν, δυσυχὴς δ' ἐγὼ γυνή.

Ἀντιστρόφικα.

Στροφὴ.

Χο. 1 Ἰὼ γᾶ τε, καὶ παμφαὴς 1260
2 Ἀκτὶς ἀελίου, κατίδετ',
3 Ἴδετε τὰν ὀλομέναν
4 Γυναῖκα, πρὶν φοινίαν
5 Τεκνοῖς προσβαλεῖν χέρ' αὐτοκτόνον·
6 Σᾶς γὰρ ἀπὸ χρυσέας 1265
7 Γονᾶς ἔβλαστεν θεῶν δ' .
8 Αἷμα πίπτειν φόβος ὑπ' ἀνέρων.
9 Ἀλλά νιν, ὦ φάος διογενὲς, κάτειργε,
10 Κατά-

Κατάπαυσον, ἔξελ' οἴκων φοινίαν
Τάλαιναν τ' ἐριννὺν ὑπ' ἀλαστόρων.

Ἀντιστροφή.

Μάταν μόχθος ἔρρει τέκνων,
Μάταν ἄρα γένος φίλιον
Ἐτέκες, ὦ κυανέαν
Λιποῦσα Συμπληγάδων
Πετρᾶν ἀξενωτάταν εἰσβολάν.
Δειλαία, τί σοι φρενῶν
Βαρὺς χόλος προσπίλνει,
Καὶ δυσμενὴς φόνος ἀμείβεται;
Χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσματ'
ἐπὶ γαῖαν αὐτοφόνταισι, ξύνοι-
δα θεόθεν πίλνοντ' ἐπὶ δόμοις ἄχη.

Παι. Οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;

Ἔτε. Οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεσθα γὰρ.

Μονοστρόφικα.

Χο. Ἀκύεις βοάν, ἀκύεις, τέκνων;
Ἰὼ τλᾶμον, ἰὼ κακοτυχὲς γύναι·
Παρέλθω δόμους; ἀρῆξαι φόνον
Δοκεῖ μοι τέκνοις.

Παι. Ναὶ

1273. Conf. Ord. Sanct.

Monastr.

Plerique sunt Dochmiaci

1289. ἀρκύων. δικτύων

1290. haec adumbravit Eurip: ex Aeschyli Prom: 242
Σιδηροφρων τε κἀπὸ πετρας εἰργασμενος

1294 γυναῖκ' ἐν φίλοις | χέρα βαλεῖν τέκνοις P.

1296 ἄλη. πλάνη.

Παι. Ναὶ πρὸς θεῶν ἀρήξατ', ἐν δέονλι γάρ·
Ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφυς.
Χο. Τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος, ἢ σι- 1290 σιδα- P.
δαρος, ἅτις τέκνων, ὧν ἔτεκες, ρος, α. τ.
Ἄρσεν αὐτόχειρι μοίρᾳ κτενεῖς.
Μίαν δὴ κλύω, μίαν τῶν πάρος
Γυναῖκα φίλοις χέρα προσβαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ' ἡ Διὸς 1295
Δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλη.
πίτνει P. Πίπτει δ' ἁ τάλαιν' ἐς ἅλμαν, φόνῳ
Τέκνων δυσσεβεῖ,
Ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
τε P. Δυοῖν δὲ παίδοιν ξυνθανεῖσ', ἀπόλλυται. 1300
Τί δή ποτ' ἂν γένοιτ' ἂν ἔτι δεινόν; τί δ. ἐὰν ε. γ.
Ὦ γυναικῶν λέχος πολύπονον, γυναικῶν
Ὅσα δὴ βροτοῖς ἔρεξας ἤδη κακά! βροτοῖσιν ἐρ. κ.

Ἰαμβοί.

Ἰά Γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἕσατε στέγης,
Ἆρ' ἐν δόμοισιν ἢ τὰ δεῖν' εἰργασμένη 1305
τοῖσιδ' P. Μήδεια τοῖσδέ γ', ἢ μεθέσηκεν φυγῇ;
Δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
ᾷ P. Ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος,

Εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
Πέποιθ', ἀποκτείνασα κοιράνους χθονὸς,
Ἀθῶος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
Ἀλλ' ἔ γὰρ αὐτῆς φρονήσιδ', ὡς τέκνων, ἔχω·
Κείνην μὲν, ἣς ἔδρασεν, ἕρξουσιν κακῶς·
Ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
Μή μοί τι δράσωσ' οἱ προσήκοντες γένει,
Μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
Χο. Ὦ τλῆμον, οὐκ οἶσθ' οἵ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τόσσ' ἂν ἐφθέγξω λόγους.
Ἰά. Τί δ' ἐστίν; ἦπου κἀμὲ ἀποκτεῖναι θέλει;
Χο. Παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
Ἰά. Οἴ μοι, τί λέξεις; ὤμ' ἀπώλεσας, γύναι.
Χο. Ὡς οὐκ ἔτ' ὄντων σῶν τέκνων, φρόντιζε δή.
Ἰά. Πῦ γάρ νιν ἔκτεινε, ἐντὸς, ἢ ἔξωθεν δόμων;
Χο. Πύλας ἀνοίξας, σῶν τέκνων ὄψει φόνον.
Ἰά. Χαλᾶτε κλῆδας ὡς τάχιστα, πρόσπολοι·
Ἐκλύεθ' ἁρμούς, ὡς ἴδω διπλοῦν κακόν,
Τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι δίκην.
Μή. Τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
Νεκροὺς ἐρευνῶν, κἀμὲ τὴν εἰργασμένην;
Παῦσαι πόνου τοῦδ'· εἰ δέ μοῦ χρείαν ἔχεις,
Λέγ', εἴ τι βούλει· χειρὶ δ' οὐ ψαύσεις ποτέ·
Τοιόνδ'

1311. Ἀθῶος· ἀζήμιος. Phav.

P. 8161

1351 ἓν γε πρόσθεν pro quibus tamen scribere malui
hos Hellenicos

Τοιόνδ' ὄχημα παῖδος Ἥλιος πατὴρ 1318. P.
Δίδωσιν ἡμῖν· ἔρυμα πολεμίας χερός.
Ἰά. Ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι,
Θεοῖς τε, κἀμοὶ, παντί τ' ἀνθρώπων γένει,
Ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
Ἔτλης, τεκοῦσα, κἀμὲ παῖδ' ἀπώλεσας·
Καὶ ταῦτα δράσασ', ἡλίου τε προσβλέπεις,
Καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέσταλον!
Ὀλοὶ· ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν,
Ὅτ' ἐκ δόμων σε βαρβάρου τ' ἀπὸ χθονὸς
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
Πατρός τε, καὶ γῆς προδότιν, ἥ σ' ἐθρέψατο.
Τὸν σὸν δ' ἀλάστορ' εἰς ἐμ' ἔσκηψαν θεοί·
Κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέσιον,
Τὸ καλλίπρωρον εἰσέβης Ἀργοῦς σκάφος.
Ἦρξω μὲν ἐκ τοιῶνδε· νυμφευθεῖσα δὲ
Παρ' ἀνδρὶ τῷδε, καὶ τεκοῦσά μοι τέκνα,
Εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
Οὐκ ἔστιν, ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ, P. 1336
Ἔτλη πρόθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
Γῆμαί σε, κῆδος ἐχθρὸν, ὀλέθριόν τ' ἐμοὶ,
Λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.

1341. P. Ἀλλ', ὃ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
Δάκοιμι, τοιόνδ' ἐμπέφυκέ σοι θράσος,
Ἔρρ', αἰσχροποιὲ, καὶ τέκνων μιαιφόνε.
Ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα,
Ὅς ὅτε λέκτρων νεογάμων ὀνήσομαι,
Οὐ παῖδας, οὓς ἔφυσα κἀξεθρεψάμην,
Ἔξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα.

μακράν γ. P. Μή. Μακρὰν ἂν ἐξέτεινα τοῖσδ' ἐναντία
Λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίσατο,
Οἷ' ἐξ ἐμοῦ πέπονθας, οἷά τ' εἰργάσω.
Σὺ δ' οὐκ ἔμελλες, τἄμ' ἀτιμάσας λέχη,
Τερπνὸν διάξειν βίοτον, ἐγγελῶν ἐμοὶ,

προστείς P. Οὔθ' ἡ τύραννος, οὔθ', ὁ σοὶ προθεὶς γάμους,
Κρέων ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.
Πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει,
Καὶ Σκύλλαν, ἣ Τυρσηνὸν ᾤκησεν πέδον
Τῆς σῆς γὰρ, ὡς χρὴ, καρδίας ἀνθηψάμην.

ει P. Ἰά. Καὐτή γε λυπῇ, καὶ κακῶν κοινωνὸς εἶ.
Μή. Σάφ' ἴσθι· λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.
Ἰά. Ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
Μή. Ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.
Ἰά. Οὐ τοίνυν ἡ μὴ δεξιά σφ' ἀπώλεσεν.
Μή. Ἀλλ' ὕβρις, οἵ τε σοὶ νεοδμῆτες γάμοι.

Ἰά. Λέχοις

Ἰά. Λέχους σφε κηξίωσας ἕνεκα κλανεῖν ; 1364. P. σφε γ' P.
Μή. Σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς ;
Ἰά. Ἥτις γε σώφρων· σοὶ δὲ πάνθ' ἑξὴν κακά. 1380
Μή. Οἶδ' ὡς ἔτ' εἰσί· τοῦτο γάρ σε δήξεται.
Ἰά. Οἶδ' εἰσιν, οἴμοι, σῷ κάρᾳ μιάσορες.
Μή. Ἴσασιν, ὅστις ἦρξε πημονῆς, θεοί.
Ἰά. Ἴσασι δῆτα σὴν ἀπόπτυσον φρένα. σήν γ' P.
εἶ P. Μή. Στυγῇ πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν. 1385
Ἰά. Καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί.
Μή. Πῶς ἔν ; τί δράσω ; κάρτα γὰρ κἀγὼ θέλω.
Ἰά. Θάψαι νεκρούς μοι τόνδε, καὶ κλαῦσαι πάρες.
Μή. Οὐ δῆτ', ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερὶ,
Φέρουσ' ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ, 1390
Ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
Τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου
Σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομαι ομεν P.
Just A: P. Τὰ λοιπὸν, ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
Αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως, 1395
ξυν P. Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
Σὺ δ' ὥσπερ εἰκὸς, κἀθανὴ κακὸς κακῶς, εἶ P.
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
Πικρὰς τελευτὰς τῶν ἐμῶν ἰδὼν γάμων.

Ἀναπαίσοι.

Ἀνάπαιστοι.

1386. P. Ἰά. Ἀλλά σ' Ἐριννὺς ὀλέσειε τέκνων,
Φονία τε Δίκη.
Μή. Τίς δὲ κλύει σε θεὸς, ἢ δαίμων,
Τᾷ ψευδόρκῳ, καὶ ξεναπάτα;
Ἰά. Φεῦ, φεῦ μυσαρὰ, καὶ παιδολέτορ.
Μή. Στεῖχε πρὸς οἶκους, καὶ θάπτ' ἄλοχον.
Ἰά. Στείχω, δισσῶν γ' ἄμορος τέκνων.
Μή. Οὔπω θρηνεῖς· μένε καὶ γῆρας. γηρασκ' P.
Ἰά. Ὦ τέκνα φίλτατα. Μ. Μητρί γε, σοί δ' οὔ.
Ἰά. Κἄπειτ' ἔκτας; Μ. Σέ γε πημαίνουσ'.
Ἰά. Αἰ, αἰ, φιλίᾳ χρῄζω σόμαλος
Παίδων ὁ τάλας προσπτύξασθαι.
Μή. Νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ, ει P.
Τότ' ἀπωσάμενος. Ι. Δὸς μοι πρὸς θεῶν
Μαλακῆ χρωτὸς ψαῦσαι τέκνων.
Μή. Οὐκ ἔστι· μάτην ἔπος ἔρριπται.
Ἰά. Ζεῦ, τάδ' ἀκούεις, ὡς ἀπελαυνόμεθ',
Οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
Καὶ παιδοφόνου τῆσδε λεαίνης;
Ἀλλ' ὁπόσον γᾶν πάρα, καὶ δύναμαι,
Τάδε καὶ θρηνῶ, κἀπιθοάζω,
Μαρτυρόμενος δαίμονας, ὡς μοι

Τέκνα

1408. P. Τέκνα κτείνασ', ἀποκωλύεις P. τεκν' ἀποκτείνασ'
Ψαῦσαί τε χειροῖν, θάψαι τε νεκρούς,
Οὓς μή ποτ' ἐγὼ φύσας ὤφελον
Ἐκ σοῦ φθιμένους ἐπιδέσθαι.
Χο. Πολλῶν ταμίας Ζεὺς ἐν ὀλύμπῳ,
[Πολλὰ δ' ἀέλπ]τως κραίνουσι θεοί. ex alio loco videtur interpositum —
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

Syllabus Abbreviationum in notis ſequentibus.

A. Liber MS. Bibliothecæ Regiæ Pariſienſis No. 2712. Codex optimus et vetuſtiſſimus quem maximè ſecutus ſum.

C. MS. ejuſdem Bibliothecæ No. 2713. Vetuſtus et bonæ Notæ.

Cott. Cottoniani Variæ Lectiones.

D. MS. Bibliothecæ Reg. Pariſ. No. 2818.

E. MS. ejuſdem Bibliothecæ No. 2888.

P. Liber impreſſus ejuſdem Bibliothecæ, collatus cum MSo. uſque ad finem Iphigeniæ poſterioris. Primæ paginæ Chr. Puteani nomen inſcribitur.

Ed. Laſc. Editio vetus, literis majuſculis Florentiæ impreſſa, et a Jano Laſcari, ut fama fert, procurata.

Ald. Editio Vetus Literis majuſculis Florentiæ impreſſa.

Reliquæ Editiones vel expreſſere Aldinam, vel ex conjecturâ immutavere.

v. 28 ———————— ὡς δὲ πέτρος ἡ θαλασσίος
Κλυδών, ἀκούει νυδετυμένη φίλων.

Valkenarius ad Hippol. p. 196 E (quod fugit [illegible] Brunck) non ita tamen ruel. Bib. Crit II. p. 4[illegible] hoc versum ita vere et elegantter emendat.

ὡς δὲ πέτρος ἐνθαλάσσιος
Κλυδών', ἀκούει νυθετουμένη φίλων.

δεύτερά φρονοῦσι σοφώτερα: et quo minus nunc Valkenarii emendationi accedam facit in Hippol: v. 452–3

ἔστι δ' ἐν θαλασσίῳ
Κλύδωνι

ubi sieri non potest ut junctim legantur ἐν et θαλασσίῳ

NOTÆ
IN
MEDEAM.

4. ΧΕΡΑΣ. Bene Græcum eſt μήδ' ὤφελε χέρας ἁρπάσαι vid. ad Iph. in Aul. v. 1301. Sed præſtat fortaſſe χέρες ut habet in margine MS. 2816.

5. δίρας. MS. E. et Lib. P. δίρος.

12. φυγῇ πολιτῶν. Emendat Canterus φύλῃ vel ψόχῃ πολιτῶν. Barneſio placet φυγῇ πολίταις: Pierſono φυγὰς πολίταις. Vide an non melius foret:

——αἰδάνουσά μὲν
Ὀργὴ πολίταις ὧν ἀφίκετο χθόνα.

Ingenio et moribus placens civibus, ad quorum terram venit. ὄργη eodem ſenſu vide Soph. Ajac. v. 1177. Pind. Pyth. I. Antiſtroph. 5.

14. ἥπιε. Legendum, ni fallor, ἵππιε.

21. δεξίας. Jortino placet δεξιᾶς Πίστιν μεγίστην.

24. ἀλγήδοσι. MSS. A, D, et Ed. Laſc. ἀλγήδονι.

30. δίρην. Lib. P. κάρα.

41. σιγῇ. Repetitur infra v. 384. quo quidem in loco commodiorem ſenſum habet. Cur enim Medea in propriam domum σιγῇ irreperet, nulla ratio erat, in alienam et inimicam, multæ. Neque porro apparet cur in cubili potiſſimùm ſe occideret Medea: ad Jaſonem et Creuſam ſimul opprimendos nullus aptior locus erat.

45. καλλίνικον. Superſcribitur in MSS, B, D, ἄγων, τίφαιον. Sed hanc Elliplin vix alibi invenias. Placet igitur conjectura Mureti, propoſita Var. Lect. Lib. III. c. 11. legendum eſſe καλλίνικον ἄσεται. Καλλίνικος enim cum ſine ſubſtantivo ponitur ſubaudiendum eſt ᾠδὴ vel ὕμνος. Herc. F. v. 178. et v. 683. Pindar. Olymp. IX. v. 3. Confer tamen Nem. I. v. 31.

58. μολόσῃ. MS. E. et Lib. P. μολόσαν. Sed vulgatam tuetur locus ex Philemonis Milite, citatus Athenæo p. 288. D. Nec ſine exemplo eſt elidi οι in μοι. vid. Sophocl. Ajac. v. 591.

61. δισπότας. Ita Pariſienſ. omn. et Ed. Laſc. Ed. Ald. δισπόταις.

68. ψισσὰς. Rectè interpretatur Scholiaſtes de loco ubi aleatores convenire ſolebant. Vide quæ congeſſit Pierſonus ad Mærid. v. Σήσαμα.

ibid. παλαίταλοι. Bene Pierſonus παλαίτεροι ex Gregor. Nazianzen. Chriſto Patiente v. 1186. De re ipsâ audiendus Joannes Sariſberienſis de Nugis Curial. I. 5. p. 25. *Chilon Lacedæmonius jungendæ ſocietatis cauſsâ miſſus Corinthum, duces et ſeniores populi ludentes invenit in aleâ. Infecto itaque negotio reverſus eſt, dicens, ſe nolle gloriam Spartanorum, quorum virtus conſtructo Byzantio clareſcebat, hâc maculare infamiâ, ut dicerentur cum alcatoribus contraxiſſe Societatem.*

85. γινώσκεις. Ita MSS. omnes cum Edd. Ald. Laſc. et Scholiaſte. γινώσκει igitur Errori Typographico haud dubiè debetur.

87. Pro δικαίως Janus Gulielmius, Vir Doctiſſimus, legendum putabat διὰ κλέος Veriſim. I. c. 16. Mihi verſus intercidiſſe videtur. Quarè manum abſtineo.

102. φυλάσσεσθ'. Ita MSS. A, B, D. MS. E. Lib. P. et Ed. Laſc. φυλάσσετε. Ed. Ald. φυλάσσεσθε.

106. δῆλον. Legendum puto δηλοῖ *oſtendit*.

Ibid. ἐξ ἄρχης αἰρόμενον. Ita Cantero auctore lego. Ed. Ald. ἐξ ἄρχης ἐξαιρόμενον. MSS. A, B, D, E, et Ed. Laſc. ἄρχης ἐξαιρόμενον.

107. ἀνάψει. MS. E. ἀνάξει, quam varietatem reliqui ferè omnes, quin et Scholiaſtes quoque agnoſcit. Eſt autem ἀνάψει Activum pro Paſſivo. Sic συνάψει Hippol. 188.

121. Senſus eſt: *pauca aliorum voluntate, pleraque ſuâ, agentes.*

123. Diſtinctionem non minimam poſt κρεῖσσον pono. Sequitur, ut ego quidem emendo:

ἐμοὶ

ἐμοὶ γῦν, εἰ μὴ μεγάλως,
ὀχυρως εἶη καταγηράσκειν.

192. δύναται. Vertit Interpres: *valent ad diuturnitatem.* Sed Græca vox nihil tale ſonat. Lego:

ἄδεια καίρον ἀδείμαλα θνατοῖς.

Nullo tempore timoris vacua ſunt. καίρον pro κατὰ καίρον ut Soph. Ajac. v. 1338. vide etiam ad Hippolyt. v. 1131. Lexica non agnoſcunt ἀδείμαλος, ſed ita habet Edit. Turneb. Æſchyli Perſ. v. 162. Photius Lex. MS. ἀδείμαλα, ἄφοβα.

132. Chori ῥῆσις, ab hoc verſu uſque ad v. 139, non conſtat ex ſolis Anapæſtis, ſed diverſa metri genera complectitur. Malè igitur in Editis cum Syſtemate Anapæſtico confunditur, a quo jam disjunximus, et Titulum [Προῳδὸς] præſcripſimus. Videbimus infra idem Strophæ, Antiſtrophæ, et Epodo accidiſſe.

135. ἀμφιπύλων. Non conſtruitur cum μιλάθρων, ſed eſt ſubſtantivum ab ἀμφίπυλος vel ἀμφίπυλον. Videtur ſignificari *porta*, quâ alia pars ædium ab aliâ diviſa erat. θύρας μισαύλους vocat Alceſt. v. 560. Confer Theocrit. Idyll. XIV. v. 42.

139. Variant hìc Codices inſigniter. Ed. Ad. ἐπεὶ μὴ φίλα κέκραται. Lib. P. ἐπεὶ μοὶ φίλια κέκραῖται. Ed. Laſc. ἐπεὶ μοὶ φίλα κέκραῖται. MSS. A, B, D, ἐπεὶ μοὶ φίλον κέκραῖται. Ex omnibus non incommodam credo Lectionem concinnavi;

ἐπεὶ μὴ φίλι', ἃ κέκραῖται.

Quia minimè amica ſunt, quæ facta ſunt.

141. ὦ μὶν. Non conſtat menſura verſûs. Lego igitur τὸν μὶν. *Habet hunc Lectus* (vel *domus*) *Principum.* Sic Virgil. Eclog. 1.

Poſtquam nos Amaryllis habet.

142. Hæc Chori ῥῆσις malè cum Anapæſtico Syſtemate in omnibus hucuſque Editis confuſa eſt. Eſt autem Strophe, cujus Antiſtrophe infrà habetur a v. 175 ad v. 187.

150. Non rectè procedit conſtructio. Legendum forte

τίς σ' ὅς ποτι ——

Deinde in ſecundo abhinc verſu σπεύδει. *Quis hic amor eſt concubitûs, qui te ad mortem oppetendam incitat?*

153. ἔρος. Ita Ed. Ald. Malè Barneſius ἰ, ὦ ϛ.

154. σπεύσει. Malim σπεύδει.

155. μηδὲν. Pro ſimplici μὴ. vid. Suidam in μηδὲν μακρὰν.

158. μὴ χαράσσῃ *ne iraſcere* μὴ ὀργίζῃ. Heſychius, κεχαραγμένος, ὠργισμένος. Herodotus VII. 1. μεγάλως κεχαραγμένον τοῖσι Ἀθηναίοισι. Verùm vix æquum erat a Medeâ, ut ne omnino iraſceretur, exigere. Legendum igitur:

Δεινῶς τοδὶ μὴ χαράσσῃ

Ne nimis vehementer ob hoc iraſcaris. τοδὶ pro τόδε metri causâ. Sic ταυτὶ Supplic. 156. τῳδὶ Her. F. 667.

159. συνδικάσει. Legendum συνδικήσει a συνδίκεω *patrocinor*. Alterum a συνδικάζω *ſimul judico*, deducitur. Extat hoc ſenſu ξυνδικήσων Æſchyl. Eumen. 582.

160. Lege ob metrum: μὴ λίαν τάκῃ δυρομένα σὸν εὐνέταν. δυρομένα pro ὀδυρομένα ut Hecub. 740.

171. Θέμιν εὐκταίαν i. e. *quæ vota et imprecationes effectu carere non ſinit.* Sic Furia, quæ Oedipi execrationes efficaces reddere ſtudebat εὔκταια Ἐρινὺς Æſchylo dicitur Sept. c. Theb. v. 729. Juramentis autem apud Antiquos ferè ſemper adjunctæ erant imprecationes. Exemplum vide infra v. 759, 60. Firmatque hanc interpretationem ὀρκίαν Θέμιν, quod mox legitur v. 212. Novi tamen qui legere malit Θέμιν Ἰχναίην ex Lycophron. v. 129. Conſer Diodori Epigram. in Anthologiâ H. Steph. p. 41.

180. Hunc et ſequentem verſum rectè Tyrwhittus Choro tribuendos eſſe judicat. Animadvertas enim per totam hanc Scenam Medeam et Nutricem Anapæſtis loqui, Chorum Odas ex diverſis metris conflatas intercinere.

182. Hic verſus in duos ſecandus eſt;

ἀλλὰ βᾶσά νιν
διὰ πόρευσον οἶκων.

185, 6. Hi verſus ſic dividendi videntur;

σπεῦσον, πρίν τι ϛ ἢ κακῶσαι

τὼς

τὰς ἴσω, φίνθος γὰρ
μεγάλως τόδ' ὁρμάθει.

208. Huic ῥῆσει titulum [Ἐπῳδὸς] præposui.

211. θεοκλυτεῖ. Formatur verbum a θεοὶ κλύετε, ut οἰμώζω ab οἴμοι.

215. ἄλα νύχιον dicit, quia contra Veterum morem tam noctu quam interdiu navigabant. Valer. Flacc. VII. v. 175. *Iude diem noctemque volant.*

217. πόντε κληῖδ'. Sic Theodorides Antholog. H. Steph. p. 253.

κληῖδες πόντε σὶ, καὶ ἰσχατίαι Σαλαμῖνος.

κληὶς utroque loco *portam* vel *claustrum* significat, planè, ut apud Dionys. Perieg. v. 1036.

——ἀχρὶ πυλάων
Κασπιάων, αἵ τ' εἶσι βαθυνομένας ὕπο πέτρας
Κληῖδες γαίης Ἀσιήτιδος.

Intelligendum autem hoc loco de Bosphoro Thracio, quod claustrum erat Euxini. Hâc enim Medea, si Nostro fides v. 438, et v. 1274. a Colchis Thessaliam venit. ἀπείρυλον interpretari licet, *qui claudi non potest.* πειρᾶσιν enim *claudere, obserare* sonat Orest. v. 1584.

219. μέμφησθ'. Ita MSS. A, B, D, Lib. P. Ed. Lasc. et Scholiastes. Ed. Ald. μέμψησθ'. Cæterùm duplex hìc oppositio est: prima, inter eos, qui palam se monstrantes gratiam et honorem, et eos, qui se occultantes, infamiam consecuti sunt. Ad priores pertinet πόλλης βροτῶν σίμνης γεγῶτας: ad posteriores οἳ δ' ἀφ' ἡσύχου ποδὸς δύσκλειαν ἐκτήσαντο. Jam hujus oppositionis prius membrum in duas classes distribuitur, alteram, quæ vultu et oculis, alteram, quæ externis, (vestimentis puta et phaleris) populi benevolentiam acquirit. Atque hinc oritur secunda illa, quam suprà indicavi, oppositio. Sed jam tempus est singulas locutiones interpretari.

220. σίμνης. Intelligo: *claros, honoratos.* Sic σίμνη Νίκα Orest. v. 1724. σίμνη δαίμων Hippol. v. 103. σίμνη Ἀθάνα Iph. in Taur. v. 1504. Vertit Muretus *arrogantes:* nec diffiteor

diffiteor eâ notione aliquoties apud Euripidem adhiberi. Sed alteram hujus loci ſententia poſtulat.

221. ἐν θυραίοις. Τὰ θύραια hìc interpretor *res externas*. Virtus ſola, ſecundùm Veterem Poetam apud Clem. Alex. p. 496.

ἐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει.

222. ἐκτήσαντο—ῥαθυμίαν. Verto: *ignaviæ opinionem conſecuti ſunt*. Confer Hippol. v. 708. Iph. in Taur. v. 628. Helen. v. 1107.

223. ἔνεσ' ἐν. Scholiaſtes ἔνεστιν.

224. ὅστις. Nempe ὄφθαλμος.

230. ψύχην. i. e. *fortitudinem*, εὐψυχίαν.

232. Legendum puto γιγνώσκεις καλῶς. Res enim ejuſmodi eſt, de quâ ad teſtimonium Chori rectè provocari potuit. Cantero placet γιγνώσκω καλῶς, Reiſkio γίγνεσθαι καλῶς.

238. τῆτο γ'. Ita MSS. B, D. MS. A, τῆτ' ἄλγιον. Cæteri, ut vulgò, τῆδ' ἔτ' ἄλγιον.

244. ὅτῳ. Legendum, ni fallor, ὅῳ.

249. καρδίαν ἄσης. Ita MS. Cott. et Ed. Laſc. Pariſienſes quoque omnes præter E, qui ἄτης pro ἄσης habet. Olympiodorus citatus a Ruhnkenio meo ad Timæum p. 177. καρδίας ἄσην. Ed. Ald. καρδίας χόλον.

258. συνουσία. Adſcribitur in MSo A. γρ. κοινωνία.

267. φόβῳ. Ita Editi recentiores, confirmatque Lib. P. Ed. Ald. φόνῳ.

268. κακὴ δ'. Optimè Tyrwhittus κακή τ'.

282. ἐξίασι πάντα κάλων. Fiebat hoc vento duntaxat ſecundo. Philo Jud. Leg. ad Caium: πάντα δὴ κάλων ἀνασείων, ὡς οἱ πνεῦμα δίξιον κατ' οἰάκων ἔχοντες, ἐφέρετο πλησίστιος ὁρμοδρομῶν. p. 700. Ed. Turneb. Significat igitur Medea hoſtes ſuos in ſummâ diligentiâ fortunam quoque adſpirantem habere.

